85α

Δημοκράνεια.

# ΑΘΥΡΑ

Ἐφραιμίου Χρονικοῦ: Καίσαρες 6653–6692

Νυνὶ δὲ διάρχοντι τῷδ' Ἰσαακίῳ (τῷ Ἀγγέλῳ
μετὰ τὴν ἐκθρόνισιν)
κατά γε διπλοῦν κίονα Προποντίδος,
ἀνεύθυνον ξύμπασιν ἦν προσιέναι
καὶ καθομιλεῖν, πάντα τε δρᾶν ἀνέδην.
διακόνοις οὖν Ἰταλοῖς κεχρημένος
ἀνδράσι φίλοις, γράμμασι ξυμπέμπει λάθρᾳ
φίλῃ θυγατρὶ τῇ συνεύνῳ Φιλίππου
Ἀλαμανῶν ἄρχοντος εὐτυχῶς τότε
δηλοῦν τὰ οἱ ξύμπαντα συμβεβηκότα·
κἀκεῖθεν ἀντίγραφα προσδεδεγμένος,
πέμπει πρὸς αὐτὴν Ἀλέξιον υἱέα,
ὃν ἐλιπάνθη ἐλπίδι κληροῦχον στέφους;

Ὅπως δὲ λαθὼν διέδρασε, λεκτέον.

Οὗτος γε συνέξεισι τῷ στεφηφόρῳ
στράτευμα κινήσαντι κατὰ Καμύτζη.

Εἰς δ' οὖν Δαμοκράνειαν ἐσκηνημένου
ἀπῴχετ' αὐτὸς ἀποδρὰς πρὸς Ἀθύραν.
Ἐφόλκιον δὲ νηὸς εὐρείας πάνυ
Ἑλλησποντίαις πηγαῖς καθωρμισμένης
ἧς ἡγεμὼν ἦν ἐκ Λατίνων Πισσαῖος
προευτρεπισθὲν εἰς δοχὴν τοῦ δραπέτου,
ἐπεὶ κατάραν ἐξ ἐπιτηδείου τότε
ἥρπακε, ἐξέπλευσε τὸν νεανίαν
καὶ πρὸς μέγ' ἀπήνεγκε πλοῖον Λατίνου.

(ἀκολουθεῖ)

Ἐπεὶ δὲ δρασμὸς διέγνωστο τοῦ νέου,
στείλας ἐρευνᾷ βασιλεὺς πλοῖον μέγα·
οὐδὲν δὲ δράσαντες ἀπεραλμένα,
παλίνδρομοι φθάνουσι πρὸς βασιλέα.

Κειράμενος γὰρ εὐφυῶς οὗτος κόμην,
ἐσθήμασί τε σχηματισθεὶς Λατίνων,
εἰλούμενος τ' αὖ ἀναμὶξ αὐτῷ ὄχλῳ,
ἄγνωστος ἦν ἅπασι τοῖς εἰδόσιν.

Οὕτως ἀποδρὰς Ἀλέξιος, ὡς ἔφην,
πρὸς κασιγνήτην ἐν Σικελίᾳ πλέει,
ᾗ τῇδ' ἐποφθεὶς ἐκτραγῳδεῖ τὰ πάθη
ἡ δ' ἐκλιπαρεῖ τὸν σύνευνον ἀμῦναι
φίλῳ τε πατρὶ δυστυχῶς πεπραγότι
συγγόνῳ πλάνητι γυμνῷ τ' ἀστέγῳ.
ταῦτα μὲν οὕτω συνέκυρσε τῷ τότε.